καὶ ἐν ταμιείοις κοιτώνων σου μὴ καταράσῃ πλούσιον·
ὅτι πετεινὸν τοῦ οὐρανοῦ ἀποίσει σὺν τὴν φωνήν,
καὶ ὁ ἔχων τὰς πτέρυγας ἀπαγγελεῖ λόγον.
11 1 Ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος,
ὅτι ἐν πλήθει τῶν ἡμερῶν εὑρήσεις αὐτόν·
2 δὸς μερίδα τοῖς ἑπτὰ καί γε τοῖς ὀκτώ,
ὅτι οὐ γινώσκεις τί ἔσται πονηρὸν ἐπὶ τὴν γῆν.
3 ἐὰν πληρωθῶσιν τὰ νέφη ὑετοῦ,
ἐπὶ τὴν γῆν ἐκχέουσιν·
καὶ ἐὰν πέσῃ ξύλον ἐν τῷ νότῳ καὶ ἐὰν ἐν τῷ βορρᾷ,
τόπῳ, οὗ πεσεῖται τὸ ξύλον, ἐκεῖ ἔσται.
4 τηρῶν ἄνεμον οὐ σπερεῖ,
καὶ βλέπων ἐν ταῖς νεφέλαις οὐ θερίσει,
5 ἐν οἷς οὐκ ἔστιν γινώσκων τίς ἡ ὁδὸς τοῦ πνεύματος.
ὡς ὀστᾶ ἐν γαστρὶ τῆς κυοφορούσης,
οὕτως οὐ γνώσῃ τὰ ποιήματα τοῦ θεοῦ,
ὅσα ποιήσει σὺν τὰ πάντα.
6 ἐν πρωίᾳ σπεῖρον τὸ σπέρμα σου,
καὶ εἰς ἑσπέραν μὴ ἀφέτω ἡ χείρ σου,
ὅτι οὐ γινώσκεις ποῖον στοιχήσει, ἢ τοῦτο ἢ τοῦτο,
καὶ ἐὰν τὰ δύο ἐπὶ τὸ αὐτὸ ἀγαθά.
7 καὶ γλυκὺ τὸ φῶς καὶ ἀγαθὸν τοῖς ὀφθαλμοῖς
τοῦ βλέπειν σὺν τὸν ἥλιον·
8 ὅτι καὶ ἐὰν ἔτη πολλὰ ζήσεται ὁ ἄνθρωπος,
ἐν πᾶσιν αὐτοῖς εὐφρανθήσεται
καὶ μνησθήσεται τὰς ἡμέρας τοῦ σκότους,
ὅτι πολλαὶ ἔσονται·
πᾶν τὸ ἐρχόμενον ματαιότης.
9 Εὐφραίνου, νεανίσκε, ἐν νεότητί σου,
καὶ ἀγαθυνάτω σε ἡ καρδία σου ἐν ἡμέραις νεότητός σου,
καὶ περιπάτει ἐν ὁδοῖς καρδίας σου
καὶ ἐν ὁράσει ὀφθαλμῶν σου
καὶ γνῶθι ὅτι ἐπὶ πᾶσι τούτοις ἄξει σε ὁ θεὸς ἐν κρίσει.
10 καὶ ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου

$20^{3}$ συν την φωνην Ra. (cf. 2 12)] σου τ. φ. B†, συν > S*†, τ. φ. σου Sc rel. | $20^{4}$ εχων > B† | τας > SA | fin. La†] + σου mss.
11 $1^{1}$ > B*† | $1^{2}$ των > B† || $2^{2}$ πον.] pr. το S† || $3^{1}$ πλησθωσιν B: cf. 1 8 | $3^{3}$ εαν ult. > S† | $3^{4}$ τοπω ad $3^{3}$ trahunt mss. || $4^{1}$ σπειρει A || $5^{2}$ της > B | $5^{4}$ συν τα παντα Ra. (cf. 3 11)] τα συμ(uel ν)παντα mss. || $6^{1}$ εν πρωια] εν τω πρωι B†, εν τω πρωια (sic) S†: cf. 10 16 | $6^{2}$ και εν εσπερα BA | αφιτω A†, αφιετω compl. | $6^{3}$ στοιχηση S† | $6^{4}$ αγαθον A† || $7^{2}$] + ου ει B*(†) || $9^{3}$ καρδιας σου La†] αμωμος B†, + αμωμος rel. (in O sub ∽) | $9^{4}$ και] + μη BS* | $9^{5}$ γνωση S*